5 *εἵλετο ἰὸν ἀναπτύ-*
*ξας φαρέτˈρας πῶμα· τῶι δ᾽ ἐναντία*
7 *ψυχὰ προφάνη Μελεάγˈρου,*
*καί νιν εὖ εἰδὼς προσεῖπεν·*
9 *„υἱὲ Διὸς μεγάλου,*
*στᾶθί τ᾽ ἐν χώρᾱι, γελανώσας τε θυμόν*
Γ′ 1 *μὴ ταΰσιον προΐει*
*τραχὺν ἐκ χειρῶν ὀϊστόν*
3 *ψυχαῖσιν ἔπι φθιμένων·*
*οὔ τοι δέος.“ ὣς φάτο· θάμβησεν δ᾽ ἄναξ*
5 *Ἀμφιτρυωνιάδας,*
*εἶπέν τε· „τίς ἀθανάτων*
7 *ἢ βροτῶν τοιοῦτον ἔρνος*
*θρέψεν ἐν ποίᾱι χθονί;*
9 *τίς δ᾽ ἔκτανεν; ἦ τάχα καλλίζωνος Ἥρα*
*κεῖνον ἐφ᾽ ἁμετέρᾱι*
11 *πέμψει κεφαλᾶι· τὰ δέ που*
col 13 (9) *Παλλάδι ξανθᾶι μέλει.“*
13 *τὸν δὲ πˈροσέφα Μελέαγˈρος*
*δακˈρυόεις· „χαλεπὸν*
*θεῶν παρατˈρέψαι νόον*
1 *ἄνδρεσσιν ἐπιχθονίοις.*
*καὶ γὰρ ἂν πλάξιππος Οἰνεύς*
3 *παῦσεν καλυκοστεφάνου*
*σεμνᾶς χόλον Ἀρτέμιδος λευκωλένου*
5 *λισσόμενος πολέων*
*τ᾽ αἰγῶν θυσίαισι πατήρ*
7 *καὶ βοῶν φοινικονώτων·*
*ἀλλ᾽ ἀνίκατον θεά*
9 *ἔσχεν χόλον· εὐρυβίαν δ᾽ ἔσσευε κούρα*
*κάπˈρον ἀναιδομάχαν*